ὁ υἱὸς τοῦ πατρός.
Ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.
ἐλέησον ἡμᾶς.
Ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.
ἐλέησον ἡμᾶς,
προσδέξαι τὴν δέησιν ἡμῶν.
Ὁ καθήμενος ἐν δεξιᾷ τοῦ πατρός.
ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος·
σὺ εἶ μόνος κύριος.
Ἰησοῦς χριστός.
εἰς δόξαν Θεοῦ πατρός.

Ἀμήν.

## HYMNUS VESPERTINUS.

E Constitt. Apost Excerptus (vii 48)

Αἰνεῖτε παῖδες κύριον.
αἰνεῖτε τό ὄνομα κυρίου.
Αἰνοῦμέν σε,
ὑμνοῦμέν σε,
εὐλογοῦμέν σε,
διὰ τὴν μεγάλην σου δόξαν,
Κύριε βασιλεῦ, ὁ πατὴρ τοῦ Χριστοῦ.
Τοῦ ἀμώμου ἀμνοῦ,
ὃς αἴρει τὴν ἁμαρτίαν τοῦ κόσμου.

Σοὶ πρέπει αἶνος,
σοὶ πρέπει ὕμνος.
Σοὶ δόζα πρέπει. τῷ Θεῷ καὶ πατρί,
διὰ τοῦ υἱοῦ, εν πνεύματι τῷ παναγίῳ
εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.